A

## ΕΠΙΡΡΗΜΑ

στίχων ις.

### Τροχαϊκοὶ, Τετράμετροι, Καταληκτικοί.

Εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
Ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι, καὶ τοῦ πέπλου, B
Οἵτινες πεζαῖς μάχαισιν, ἔν τε ναυφράκτῳ στρατῷ
Πανταχοῦ νικῶντες ἀεὶ, τήνδ' ἐκόσμησαν πόλιν.
Κοὐδεὶς οὐδεπώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν
Ἠρίθμησεν. ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας.
Εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινὶ,
Ταῦτ' ἀπεψήσαντ' ἂν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι, C
Ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
Τῶν προτοῦ, σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον.
Νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι, καὶ τὰ σιτία,
Οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει D
Προῖκα γενναίως ἀμύνειν, καὶ θεοῖς ἐγχωρίοις.
Καὶ πρὸς, οὐκ αἰτοῦμεν οὐδὲν, πλὴν τοσουτονὶ μόνως,
Ἤν ποτ' εἰρήνη γένηται, καὶ πόνων παυσώμεθα,
Μὴ φθονεῖθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις. E

## EPIRRHEMA

*vers.* 16.

### *Trochaici, Septenarij, Catalectici.*

*Prædicare volumus maiores nostros: quoniam viri*
*Fuerant & terra hac, & festiuo peplo dignissimi,*
*Qui mari & terra viriliter conseruerunt manus*
*Cum hoste, semper victores, vbique hunc decorantes locum,*
*Neque quisquam illorum cõspectis hostium vnquam copijs*
*Cessauit: sed animus defensor eis inerat illicò.*
*Si fortè in pugna caderent in humerum, tũ hanc rem protinus*
*Abstergebant: pòst cecidisse se negabant firmiter.*
*Mox iterum in pugnam redibant: neque quisquam veterum ducum*
*Postulabat publicum victum, orato Cleaneto. At*
*Nunc, nisi vbique primas teneant, vnà cum cibarijs,*
*Se pugnaturos negant. Nos verò æquum esse ducimus,*
*Gratis, & patriæ, & Dis indigenis opitularier.*
*Hîc nihil amplius requirimus, præterquàm hoc vnicum:*
*Si quando pax restituatur, & à bello sit ocium:*
*Ne nobis inuideatis bene comtis & tersis viris.*

Σχόλια. Εὐλογῆσαι βουλόμεσθα.] τὸ ἐπίρρημα, στίχων ἐστὶ ις, τετραμέτρων τροχαϊκῶν ἀκαταλήκτων, ὃ φιλεῖ Ἀρίσταρχος. ὁμοίως δὲ καὶ τὸ ἀντεπίρρημα. διπλῆ δ' ἄμφω περατοῦνται. ἀλλὰ τὸ μὲν τῇ ἔσω διὰ τὴν ἀνταπόδοσιν. τὸ δὲ τῇ ἔξω. εὐλογῆσαι δὲ ἀντὶ τοῦ ἐπαινέσαι. ὑμνῆσαι. ἐγκωμιάσαι. Ἄξιοι καὶ τοῦ πέπλου.] ἴδια παρὰ τοῖς Ἀθηναίοις πέπλος τὸ ἄρμενον τῆς Παναθηναϊκῆς νεὼς ἣν οἱ Ἀθηναῖοι κατασκευάζουσι διὰ τετραετηρίδος. ἧς καὶ τὴν πομπὴν, ἀπὸ τοῦ κεραμικοῦ ποιοῦσι μέχρι τοῦ Ἐλευσινίου. πέπλον δὲ καλοῦσι τὸ ἄρμενον διὰ τὸ ἀραιὸν αὐτὸ εἶναι. ἄλλως. καὶ τοῦ πέπλου. οὗ ἐνέγραπτο Ἐγκέλαδος ὃν ἀνεῖλεν ἡ Ἀθηνᾶ. ἦν δὲ εἷς τῶν Γιγάντων. ἐπεσκευάζετο οὖν ὁ πέπλος καθ' ἕκαστον ἐνιαυτὸν, καὶ ἐπομπεύετο ἐν τοῖς Παναθηναίοις. ἄλλως. νικήσαντες πέπλον ἐποίησαν τῇ Ἀθηνᾷ καὶ ἐνέθεντο τὰς ἀριστείας ἐν αὐτῷ. Εὐριπίδης Ἑκάβῃ. ἢ Παλλάδος ἐν πόλει τὰς καλλιδίφρου Ἀθηναίας ἐν κροκέῳ πέπλῳ ζεύξομαι ἅρματι πώλους. Ναυφράκτῳ στρατῷ.] τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ ναυτικῷ. F

Bisetvs. Πανταχοῦ νικῶντες ἀεί.] Αἰσχύλος ἐν ἑπτὰ ἐπὶ Θήβαις. G

Ἔστ' ἆρ' Ἀθηνῶν, ἔστ' ἀπόρθητος πόλις.
Ἀνδρῶν γὰρ ὄντων ἔρκος ἐστὶν ἀσφαλές.

Σχόλια. Ηρίθμησεν.] ἀπεδειλίασεν. μεθ' ἡσυχίας ἦγεν. Ἀμυνίας.] ἕτοιμος πρὸς τὸ ἀμῦναι, ὡς ἐπὶ τῶν ἐν πάλῃ ἀγωνιζομένων. Εἰ δέ που πέσοιεν.] ἡττηθεῖεν. ἧττον ἔχοντες ἀπέλθοιεν. ἄλλως. εἶδος παλαίσματος ὅ τινες ψευδόπτωμα καλοῦσιν. ἐπέμεινε δὲ τῇ τροπῇ καὶ γὰρ τῶν παλαιόντων οἱ εἰς τὸν ὦμον πεσόντες, ἐξαναστάντες εἰώθασιν ἀποψᾶν τὴν κόνιν. ἵνα μὴ ἴχνος ἔχοιεν μηδὲ ἔλεγχον τοῦ πτώματος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅτι οἱ πρόγονοι εἰ καὶ ἡττηθεῖεν ἐν μάχῃ, πάλιν αὐτοὶ τὴν ἧτταν ἀνεκαλοῦντο ταχέως καὶ τοῖς νενικηκόσιν ἡττηθεῖσιν ἐκ δευτέρου, πλέον τῆς προτέρας νίκης οὐδὲν ἦν. Ἀπεψήσαντ' ἄν.] ἀπεμάξαντο ὡς οἱ παλαίοντες. ἵνα μηδὲν ἴχνος ἔχοιεν πτώματος. διεπάλαιον δὲ, ἀναπάλαιον. ἀνεμάχοντο. Τῶν προτοῦ, σίτησιν.] σίτησιν λέγει τὴν ἐν Πρυτανείῳ τράπεζαν, τουτέστι δημοσίᾳ τρέφεσθαι, οὐδεὶς ἂν τῶν παλαιῶν ἠξίωσεν, ὡς τῶν κατ' αὐτὸν στρατηγῶν τοῦτο ποιούντων, καὶ ὡς ἐπὶ μισθῷ ὑφισταμένων κατορθῶσαι τι τῇ πόλει. ἄλλως. στρατηγῶν Ἀθηναίων τῶν πρότερον οὐδεὶς πρὸ τοῦ πολέμου σίτησιν ᾔτησεν, ἂν μὴ ὁ δῆμος χαρίζηται. νῦν δὲ ἐὰν μὴ τιμῶνται προεδρίᾳ, καὶ σιτίοις, ἀγανακτοῦσιν. ἔσκωψε δέ. οὐ γὰρ εἶπε σίτησιν, ἐὰν μὴ γένωνται πρόεδροι καὶ τιμῆς ἀξιωθῶσιν, οὐ μαχέσεσθαί φασι. Κλεαίνετον.] οὗτος ὁ Κλεαίνετος φαίνεται κατεδηδοκὼς τὴν οὐσίαν καὶ ἡδυπαθήσας. οἱ δὲ, ὅτι οὗτος ἔγραψε ψήφισμα μὴ δεῖν δοθῆναι τοῖς στρατηγοῖς σίτησιν. σπανίως δὲ μέμνηται τοῦ Κλεαινέτου καὶ σχεδὸν ἐνταῦθα μόνον. στοχάζονται οὖν τινες ὅτι οὗτος ἂν εἴη ὁ τὴν σίτησιν περιποιήσας τῷ Κλέωνι.

Bisetvs. Κλεαίνετον] τοῦτον τὸν Κλεαίνετον Θουκυδίδης